# ΦΥΛΛΑΔΙΟΝ

ΠΕΡΙΕΧΟΝ ΣΥΝΑΡΜΟΛΟΓΗΜΕΝΑΣ

ΤΑΣ ΔΥΟ ΙΕΡΑΣ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΤΕ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

## ΦΙΛΙΠΠΟΥ

ΚΑΙ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΓΡΗΓΟΡΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

*ΤΟΥ ΠΑΛΑΜΑ.*

ΕΚΔΙΔΕΤΑΙ ΤΟ ΠΡΩΤΟΝ.

ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΝΙΚΟΛΑΟΥ ΒΑΓΛΑΜΑΛΗ.

1867.

Τοῖς ἐντευξομένοις χαίρειν.

Ἐπειδὴ ἡ Κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Παλαμᾶ Ἀρχιεπισκόπου Θεσσαλονίκης συμπίπτει κατὰ τὴν ιδ'. τοῦ Νοεμβρίου μηνὸς, καθ' ἣν ἑορτάζομεν τὴν μνήμην τοῦ ἁγίου Ἀποστόλου Φιλίππου, ἔκρινα εὔλογον νὰ συναρμολογήσω μετὰ τῆς ἱερᾶς ἀκολουθίας τοῦ Ἀποστόλου τὴν ὑπὸ τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Κυροῦ Φιλοθέου Θεσσαλονικέως συνταχθεῖσαν ἱερὰν ἀκολουθίαν τοῦ ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ· ἐξετέλεσα δὲ τὸ ἔργον ὑπὸ τὴν ὁδηγίαν, καὶ ἐπιτήρησιν τοῦ Σεβαστοῦ μοι θείου, καὶ ἀναδόχου, τοῦ Παναγιωτάτου Ποιμενάρχου Θεσσαλονίκης Κυρίου Κυρίου Νεοφύτου τοῦ Βυζαντίου· καὶ ἐκδίδω αὐτὸ εἰς τὴν δημοσιότητα, ἐπικαλούμενος τὴν συγγνώμην τῶν ἀναγνωστῶν διὰ τὴν τόλμην μου.

1867 κατὰ μῆνα Ἰούνιον ἐν Θεσσαλονίκῃ.

Ὁ Ἐκδότης
ΦΙΛΙΠΠΟΣ Κ. ΜΕΓΑΒΟΥΛΗΣ.

## ΤΗι ΙΔ'. ΝΟΕΜΒΡΙΟΥ ΜΗΝΟΣ

τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου

### ΦΙΛΙΠΠΟΥ

καὶ ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

### ΓΡΗΓΟΡΙΟΥ

ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ.

Εἰς τὸν ἑσπερινόν.

Μετὰ τὸν προοιμιακὸν τὸ, Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ὀκτώ· καὶ ψάλλομεν στιχηρὰ προσόμοια τέσσαρα τοῦ Ἀποστόλου, καὶ τέσσαρα τοῦ Ἱεράρχου.

Τοῦ Ἀποστόλου ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Ἐκ βαθέων ἐκέκραξά σε.

Πρᾶξιν μὲν ἐπίβασιν, εἰλικρινοῦς θεωρίας, θεωρίαν τέλος δὲ, φιλοθέου πράξεως μάκαρ θέμενος, τὸν Χριστὸν ἠξίωσας, τοῦ πατρὸς τὴν δόξαν, ὑποδεῖξαί σοι τὴν ἄφραστον· καὶ γαρ ἐφίεται, πᾶσα λογικὴ φύσις ἔνδοξε, Θεοῦ τοῦ ὑποστήσαντος· καὶ τοῦ ποθουμένου τετύχηκας, τούτου παραυτίκα, δεξάμενος σφραγίδα τὸν υἱὸν, ὃν παῤῥησίᾳ δυσώπησον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Γεννηθήτω τὰ ὦτά σου προσέχοντα.

Θείαις ἀναβάσεσι, διὰ παντὸς κεχρημένος, ὡς Μωσῆς τὸ πρότερον, τὸν Θεὸν θεάσασθαι ἐπεπόθησας· καὶ γνωστῶς εἶδες δὲ, τὴν αὐτοῦ εἰκόνα, δεδεγμένος πρὸς ἐμφέρειαν. Πατρὸς γὰρ σύντονος, γνῶσις ὁ υἱὸς καὶ ἀπόδειξις· υἱοῦ δὲ γεννήτορος, μία ἡ οὐσία γνωρίζεται, καὶ ἡ διὰ πάντων, ταυτότης ἀναφαίνεται σεπτῶς, καὶ βασιλεία καὶ δύναμις δόξα καὶ προσκύνησις.

Ἕτερα προσόμοια ἦχος πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Ἐὰν ἀνομίας παρατηρήσης Κύριε.

Ὢ τοῦ παραδόξου θαύματος! ἀποσταλεὶς ἐκ Θεοῦ, ὁ Ἀπόστολος Φίλιππος, μέσον λύκων πρόβατον, ἀπτοήτως νῦν πρόεισι, τοὺς θῆρας ἄρνας πίστει ἀνέδειξε· τὸν κόσμον θείως, μετεστοιχείωσεν· ὢ ἔργα πίστεως! ὢ δυνάμεις ἄρρητοι! οὗ ταῖς εὐχαῖς, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε.

Ὢ τοῦ παραδόξου θαύματος! φρέαρ πηγάζων ζωὴν, ἐν σοφίας ἀντλήματι, τοῖς ἐν κόσμῳ πέφηνεν, ὁ Ἀπόστολος Φίλιππος. ἀφ' οὗπερ ῥεῖθρα, δογμάτων πρόεισιν· ἐξ οὗ θαυμάτων, ῥεύματα πίνομεν· ὢ οἷα δέδρακε, φοβερὰ τεράστια, ὁ θεουργὸς, οὗπερ τὸ μνημόσυνον, πίστει γεραίρομεν.

Τοῦ Ἱεράρχου. ἦχος δ'.

Ἔδωκας σημείωσιν

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός.

Ἡ χάρις ὡς ἔχρισε, Θεσσαλονίκην σε πρόεδρον, πανταχοῦ σε ἀνέδειξε, φωστῆρα καὶ πρόμαχον τῆς ὀρθοδοξίας· διὸ σου τὴν μνήμην, ἐπιτελοῦμεν σοὶ πιστῶς, ἐπικροτοῦντες τὴν θείαν δόξαν σου· τοῖς θαύμασι γὰρ ἔκρινεν, ὁ οὐρανὸς καὶ ἐσφράγισε, τὸν σὸν βίον καὶ δόγματα, θεοφόρε Γρηγόριε.



Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος

Θλίψεσι πυρούμενοι, οἱ σοὶ οἰκέται ἑκάστοτε, τῇ σορῷ σου προσπίπτομεν, βοῶντες καὶ λέγοντες, ἔπιδε, ὦ πάτερ, μετὰ Δημητρίου, ᾧ συμπαρίστασαι Χριστῷ, τοῦ συμπολίτου καὶ θείου μάρτυρος, καὶ ἅπαν ἐκδιώξατε ἐκ τῆς ἡμῶν ποίμνης ἄλγημα, καὶ ζωῆς ἀξιώσατε, ἀϊδίου πανόλβιοι.

Ἕτερα. ἦχος πλ. β.

Ποίοις εὐφημιῶν στέμασιν

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη

Ποίοις ὑμνῳδιῶν ἄνθεσι, στεφανώσωμεν τὸν Ἱεράρχην τὸν τῆς εὐσεβείας ὑπέρμαχον, καὶ τῆς ἀσεβείας ἀντίπαλον, τὸν θερμὸν τῆς πίστεως προστάτην, τὸν μέγαν καθηγεμόνα καὶ διδάσκαλον, τὴν λύραν τὴν παναρμόνιον τοῦ πνεύματος, τὴν χρυσαυγίζουσαν γλῶσσαν, τὴν πηγὴν τὴν βρύουσαν, ἰαμάτων νάματα πιστοῖς τὸν μέγαν καὶ ἀξιάγαστον Γρηγόριον.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος.

Ποίοις οἱ γηγενεῖς χείλεσιν, εὐφημήσωμεν τὸν Ἱεράρχην, τὸν τῆς ἐκκλησίας διδάσκαλον τοῦ φωτὸς τοῦ θείου τὸν κήρυκα, τὸν οὐρανομύστην τῆς Τριάδος, τὸ μέγα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

τῶν μοναζόντων ἐγκαλλώπισμα, τὸν πράξει καὶ θεωρίᾳ διαλάμποντα, Θεσσαλονίκης τὸ κλέος, συμπολίτην ἔχοντα μυραβλύτην ἐν οὐρανοῖς, τὸν θεῖον καὶ ὑπερθαύμαστον Δημήτριον.

Δόξα, τοῦ Ἀποστόλου ἦχος πλ. β΄.

Τοῦ Μεγάλου Φίλιππε φωτὸς, ταῖς ἀστραπαῖς πυρωθεὶς, παγκόσμιος ἐξέλαμψας φωστήρ· τὸν πατέρα δὲ τῶν φώτων, ἐν Υἱῷ ζητήσας εὗρες· ἐν τῷ φωτὶ τὸ Φῶς γὰρ εὑρίσκεται· καὶ γὰρ οὗτος σφραγὶς ἰσότυπος, δηλῶν τὸ ἀρχέτυπον· ὃν Ἀπόστολε δυσώπει, τοὺς ἐσφραγισμένους τῷ θείῳ περισώζεσθαι αἵματι.

Καὶ νῦν Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθεὶς, φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε σεμνὴ Παμμακάριστε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Καὶ τὰ ἀναγνώσματα. Τὸ ά. Τοῦ Ἀποστόλου.

Καθολικῆς ά. ἐπιστολῆς Πέτρου τὸ ἀνάγνωσμα.

Ἀγαπητοὶ, Χριστοῦ παθόντος ὑπὲρ ὑμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε· ὅτι ὁ παθὼν ἐν σαρ-



κὶ, πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου, τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις καὶ ἀθεμήτοις εἰδωλολατρείαις· ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες· οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς· εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι· πάντων δὲ τὸ τέλος ἤγγικε· σωφρονήσατε οὖν, καὶ νήψατε εἰς προσευχάς· πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες· ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν. Φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν· ἕκαστος καθὼς ἔλαβε χάρισμα εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ· εἴτις λαλεῖ, ὡς λόγια Θεοῦ· εἴτις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς χορηγεῖ ὁ Θεός· Ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστὶν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Τοῦ Ἱεράρχου.
Παροιμιῶν τὸ ἀνάγνωσμα.

Μνήμη δικαίου μετ' ἐγκωμίων. καὶ εὐλογία κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς εἶδε φρόνησιν. κρεῖττον γὰρ αὐτὴν ἐμπορεύσθε, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. πᾶν δε τίμιον, οὐκ ἄξιον αὐτῆς

ἐστίν. ἐκ γαρ τοῦ στόματος αὐτοῦ ἐκπορεύσηται δικαιοσύνη. νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γαρ ἐρῶ. καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμᾶς ὁδοὺς φυλάξει. αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ κυρίου. διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν· νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. εἰσακούσατέ μου καὶ πάλιν σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου. οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες. πάντα εὐθέα ἐστι τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. διδάσκων γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ἡμῶν καὶ πλησθήσεσθαι πνεύματος.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται, γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη, ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ



τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον. τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας, οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἴπωμεν πάντες. Τὸ Καταξίωσον Κύριε.

Πληρώσομεν τὴν ἑσπερινήν· καὶ τὰ ἑξῆς.

Εἰς τὴν λιτὴν, Στιχηρὰ Ἰδιόμελα.

Τοῦ Ἀποστόλου ἦχος ά.

Τὸ πῦρ τὸ νοερὸν τὸ φωτίζον διανοίας, καὶ φλογίζον ἁμαρτίας, ἔνδον λαβὼν ἐν καρδίᾳ, ὁ Ἀπόστολος Χριστοῦ καὶ μαθητὴς, λάμπει μὲν ταῖς μυστικαῖς ἀκτῖσι τῶν διδαχῶν, ἐν ταῖς τῶν ἐθνῶν ἀφωτίστοις καρδίαις· φλέγει δὲ πάλιν, τὰς φρυγανώδεις τῶν ἀσεβῶν μυθουργίας· τὸ πῦρ γὰρ τοῦ πνεύματος τοιαύτην ἔχει τὴν ἐνέργειαν. Ὢ θαῦμα ξένον καὶ φοβερόν! ἡ πηλώδης γλῶσσα, ἡ πηλίνη φύσις, τὸ σῶμα τὸ χοϊκὸν, τὴν νοερὰν καὶ ἄϋλον ὑπεδέξατο γνῶσιν. Ἀλλ' ὦ μύστα τῶν ἀῤῥήτων, καὶ θεωρὲ τῶν οὐρανίων, ἱκέτευε καταυγασθῆναι τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἱεράρχου ἦχος ὁ αὐτός.

Εὐφραίνου ἐν Κυρίῳ πόλις Θεσσαλονίκη, ἀπόθου κατήφειαν, πᾶσαν τὴν τῆς δουλείας, Γρηγόριον τὸν Θεόφρονα, ὁδηγὸν καὶ κήρυκα τῆς ἀληθείας, ἐν δόξῃ προ-

κείμενον ὁρῶσα· ἀπόλαυε τῶν θαυμάτων, τὴν σορὸν αὐτοῦ κυκλοῦσα, καὶ τέρπου καταισχύνοντος τοὺς τῆς δύσεως γόνους, καὶ εὐχαρίστως τῷ Σωτῆρι ἀνάκραζε, Κύριε δόξα σοι.

Ἦχος β'.

Εἴληφας Ἱεράρχα τὴν ἀνωτάτην φιλοσοφίαν, καὶ ἔξω κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ δρώμενα· καὶ ἔσοπτρον ἀκηλίδωτον, Θεοῦ θεῖον ἀνεδείχθης· καὶ ὢν ἀεὶ ἡνωμένος φωτὶ, φῶς προσελάμβανες· καὶ τρανώτερον τοῦ μακαρίου ἔτυχες τέλους, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν Ἱερὲ Γρηγόριε.

Ἦχος γ'.

Χριστὸν εἰσοικισάμενος ἐν τῇ ψυχῇ σου διὰ τῆς καθαρᾶς σου πολιτείας, τὴν πηγὴν τῆς ζωῆς Ἱεροφάντα Γρηγόριε· ποταμοὺς ἀνέβλυσας δογμάτων εὐσεβῶν τῇ οἰκουμένῃ· ἐξ ὧν ποτιζόμενος ὁ πιστὸς τῆς ἐκκλησίας λαὸς, καρπὸν χειλέων ὁμολογούντων τὴν χάριν προσφέρει τῷ δοξάσαντι τὴν μνήμην σου ὅσιε, εἰς αἰῶνα αἰῶνος.

Ἦχος πλ. β'.

Τὸν τῆς εὐσεβείας ἀληθῆ, κήρυκα καὶ τῆς ἐκκλησίας ὑπερφαῆ ἀστέρα, ὕμνοις ἐγκωμίων τιμήσωμεν, Θεσσαλονίκης τὸν Λαμπρὸν Φωστῆρα, τὸν τοῦ φωτὸς διδάσκαλον, καὶ φίλον τοῦ Χριστοῦ· οὗτος γὰρ τὸν τῆς εὐσεβείας ἔνθεον λόγον ἐν ταῖς καρδίαις τῶν πιστῶν πᾶσι πρὸς σωτηρίαν δωρῆται· καὶ πρεσβεύει ἐκτενῶς τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



Ἦχος δ'.

Πάτερ Γρηγόριε, Θεσσαλονίκης ἄγρυπνε ποιμὴν, καὶ τῆς ἐκκλησίας ἁπάσης φωστὴρ διαυγέστατε, τοὺς πιστῶς σου τελοῦντας τὸ ἱερὸν μνημόσυνον, ἄνωθεν ἡμᾶς, ἵλεως ἐποπτεύεις, καὶ ὡς ποτὲ τὴν ποίμνην ταύτην, τῇ ποιμαντικῇ σφενδόνῃ τῶν λόγων σου, ἀνεπίβατον διέσωζες τοῖς λύκοις τῶν αἱρέσεων, οὕτω καὶ νῦν τῷ θρόνῳ παριστάμενος τῆς δόξης, τοὺς τὴν σορόν σου τὴν ἁγίαν κυκλοῦντας, καὶ μετὰ πόθου δεομένους σου ἔνδοξε, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, αἰσθητῶν καὶ νοητῶν ἐπειρειῶν διαφύλαττε.

Δόξα ἦχος πλ. δ'.

Ἔχει μὲν τὴν θειοτάτην σου ψυχὴν καὶ ἄμωμον, ἀοίδιμε Γρηγόριε· ἡ Οὐράνιος Ἱερουσαλὴμ καὶ ἀκατάλυτος· ἧς τὰ τείχη ἐν ταῖς ἀΰλαις χερσὶ τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται· ἔχει δὲ καὶ τὸ σεβάσμιον καὶ καρτερικώτατόν σου σῶμα, ἡ ἱερά σου ποίμνη ἀληθῶς, πηγὴν ἀένναον θαυμάτων, χαρισμάτων ἄλλον παράδεισον· ἔνθα προστρέχοντες τὰ ἰάματα καρπούμεθα· φρούρησον πανάριστε, τὴν σὲ μεγαλύνουσαν πόλιν ἐξ αἱρέσεων λύμης πονηρῶν, παῤῥησίαν ὡς ἔχων πρὸς Χριστὸν, τὸν σὲ δοξάσαντα.

Καὶ νῦν ὁ αὐτός.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Καὶ τὰ ἑξῆς τῆς λιτῆς.

Ἀποστίχου τὰ παρόντα προσόμια τοῦ Ἱεράρχου, ἦχος πλ. ά. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις τῆς εὐσεβείας Φωστὴρ, τῆς ἐκκλησίας ὁ λαμπρὸς ὄντως ἥλιος· τὸ κλέος, τὸ τῆς Ἑώας, τῆς ἡσυχίας κανών· Βαρλαὰμ ὁ πνίξας καὶ ἀκίνδονον, παμμάκαρ Γρηγόριε ἰσχυραῖς ἀποδείξεσι· τὸ τῆς σοφίας καὶ τῆς γνώσεως τέμενος, λόγων σκήνωμα τῶν ἐντὸς καὶ τῶν θύραθεν· ὄργανον τὸ τοῦ πνεύματος, ψαλτήριον ἔμψυχον στόμα, Κυρίου ἐξάγον, ἐξ ἀναξίου τὸν ἄξιον, Χριστὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίροις ὁ ὑψηλότατος νοῦς, ὁ θεωρὸς τῶν μυστηρίων τοῦ πνεύματος, τὸ σκεῦος τῶν χαρισμάτων, ἡ φωτοφόρος λαμπὰς, ἀστραπῆς τῆς θείας καὶ ἐλλάμψεως ἀγάπης τὸ κράτιστον καὶ σεπτὸν ἐνδιαίτημα, ὁ πρᾶος ὄντως, καὶ ἁπλοῦς τε καὶ ἄκακος, ἡ ἀνάπτυξις τῶν γραφῶν καὶ σαφήνεια· θάλασσα νοημάτων τε, τῶν θείων Γρηγόριε, πέλαγος ἔνθεον λόγου, διδασκαλίας ἀκένωτον Χριστὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χαίροις Θεολογίας βυθὸς, ὀρθοδοξίας ὁ κανὼν ὁ εὐθύτατος, προσθήκην ἐν τῷ συμβόλῳ δυσσεβεστάτην εἰπὼν, τοῦ ἑνὸς αἰτίου ἐνθεότητι, διπλόην εἰσάγουσαν



τοῖς πατράσιν ἀγνώριστον· ὁ καταισχύνας, τοὺς τὴν χάριν τοῦ πνεύματος καὶ τὴν ἄχρονον, ἀθετήσαντας θέωσιν· καύχημα τὸ ἡμέτερον, θεόφρων Γρηγόριε, δόξα πιστῶν ὀρθοδόξων· Θεσσαλονίκης ὁ πρόεδρος, ἡμῖν θλιβομένοις, ὁ δωρούμενος εὐχαῖς σου, τὸ μέγα ἔλεος.

Δόξα· ἦχος ά.

Τὴν τῶν πατέρων ἀπλανῆ ὁδεύσας τρίβον, Θεοφόρε Γρηγόριε, καὶ στάθμην ἀληθείας, τὴν θεοπαράδοτον τοῦ Χριστοῦ, μυηθεὶς θεολογίαν, τὸ ὑπὲρ ἔννοιαν τῆς Ἁγίας Τριάδος μυστήριον, εὐσεβῶς ἐθεολόγησας, ἀσφαλῶς διαφυλάξας τὰς τῶν προσώπων ἰδιότητας· Υἱοῦ γὰρ καὶ Πνεύματος, μόνον αἴτιον, τὸν πατέρα δογματίσας, τὸ μὲν τῆς μοναρχίας ἀξίωμα, ἐν τῇ τριάδι διετήρησας, ὡς δὲ ἀλλόκοτον καὶ τέρας ψεύδους τὸ αἰτιατοαίτιον τοῖς καινοτομήσασιν ἀπέῤῥιψας παππολάτραις· δι' ὃ καὶ ἡ τοῦ Χριστοῦ ἐκκλησία, στόμα, σφραγίδα, καὶ ἐπίλογον τῶν Θεολόγων ἐκ τῶν ἔργων ἀναφανέντα κηρύττει σε, καὶ ψήφῳ κανονικῇ, ταῖς αἰτησίαις τιμαῖς, τὴν θεοδόξαστον γεραίρει μνήμην σου· σὲ τοίνυν καὶ ἡμεῖς εἰς Θεὸν μεσίτην ἀκαταίσχυντον, προβαλλόμεθα λέγοντες Ἱεραρχῶν ἐγκαλλώπισμα, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν· ὁ αὐτὸς Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Νῦν ἀπολύεις· τὸ τρισάγιον.

'Απολυτίκια.

Απόστολε Ἅγιε Φίλιππε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Δόξα. Τοῦ Ἱεράρχου.

Ορθοδοξίας ὁ φωστὴρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε· τῶν μοναστῶν ἡ καλονὴ, τῶν θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Γρηγόριε θαυματουργὲ, Θεσσαλονίκης τὸ καύχημα, κήρυξ τῆς χάριτος, ἱκέτευε διὰ παντὸς, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ο δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Καὶ ἀπόλυσις.

## ΤΟ ΠΡΩΙ ΜΕΤΑ ΤΟΝ ΕΞΑΨΑΛΜΟΝ

εἰς τό· Θεὸς Κύριος,

τὰ αὐτὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν πρώτην στιχολογ. κάθισμα τοῦ Ἀποστόλου.

Τὴν σοφίαν καὶ Λόγον. Ἦχος πλ. δ'.

Ελατὴρ τῶν δαιμόνων ἀναδειχθεὶς, καὶ φωστὴρ τῶν ἐν σκότει ἀποφανθεὶς, ἔδειξας τὸν Ἥλιον, ἐκ παρθένου



ἐκλάμψαντα· καὶ ναοὺς εἰδώλων, συντρίψας ἀνήγειρας, ἐκκλησίας μάκαρ, εἰς δόξαν Θεοῦ ἡμῶν· ὅθεν σε τιμῶμεν, καὶ τὴν θείαν σου μνήμην λαμπρῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι· Ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τοῦ Ἱεράρχου· ὅμοιον.

Αποστὰς τῶν ῥεόντων καὶ γεηρῶν, βασιλέων, καὶ φίλων καὶ συγγενῶν, ἐκτήσω τὰ μένοντα, καὶ ἑστῶτα μακάριε, καὶ οἰκίαν πᾶσαν, καὶ γένος προσήγαγες, τῷ Δεσπότῃ πάντων, σεπτὸν ὁλοκάρπωμα ὢν καὶ καθηγήσο, τὴν ὁδὸν ὁμαλίσας, ψυχὴν σὺν τῷ σώματι ἁγιάσας Γρηγόριε, θεωρίᾳ καὶ πράξει τε, πρέσβευε Χριστῷ ἐκτενῶς τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Εκ σαρκός σου φορέσας ὡς ἀγαθὸς, τὴν μορφὴν ὁ Δεσπότης τὴν δουλικὴν, ἐθέωσε Δέσποινα, ἑνωθεὶς καθ' ὑπόστασιν· καὶ τὴν φύσιν πᾶσαν, πληρώσας τοῦ Πνεύματος, τῶν ἁγίων δήμους, εἰργάσατο χάριτι· ὅθεν τὴν αἰτίαν, τῶν ἀρρήτων πραγμάτων, καὶ πρώτην τοῦ Πνεύματος, πληρωθεῖσαν ὑμνοῦμέν σε, ἐκ καρδίας βοῶντές σοι· Χαῖρε ἡ βεβαία ἐλπὶς, τῶν προσκυνούντων ἐν πίστει τὸν τόκον σου.

Μετὰ δὲ τὴν β'. στοιχολ.

Τοῦ Ἱεράρχου ὅμοια.

Εγκρατείᾳ καὶ νήψει καὶ προσευχῇ, παρθενίᾳ πτωχείᾳ

καὶ τῷ καινῷ, λουτῆρι Γρηγόριε τῶν δακρύων καθάρας σου, τὴν καρδίαν ὅλος, μετάρσιος γέγονας· καὶ Χριστῷ συνήφθεις, ἐν πνεύματι γενόμενος. Ὅθεν ὡς ὁ Παῦλος, τῶν ἀῤῥήτων ἀκούσας, καὶ σκεῦος γενόμενος, ἐκλογῆς σὺ ἐβάστασας, τοῦ Κυρίου τὸ ὄνομα, ἐναντίον ἀνόμων τρανῶς· στέμματι δι' ὅ σε διπλῷ, ἐκ τῶν ἔργων ἔστεψεν ὁ Κύριος· τοὺς προσιόντας σοι πόθῳ εὐχαῖς σου περίσωζε.

Δόξα, καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, ναῦν ὡς ἀκυβέρνητον, ποντουμένην πανάμωμε, ἁμαρτιῶν τε φόρτῳ, φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα ᾅδου πεσεῖν κινδυνεύουσαν· φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Μετὰ δὲ τὸν Πολυέλεον. Καθίσμ. ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Τὸν θεῖον τοῦ Χριστοῦ, Ἱεράρχην ὑμνοῦμεν· τὸν στύλον τοῦ πυρός· τοῦ φωτὸς τὴν νεφέλην, ἐν πνεύματι προάγοντα, Ἰσραὴλ νέον σήμερον, καὶ εἰσάγοντα εἰς νοητὴν γῆν εἰρήνης, τὴν μητρόπολιν τῶν ἐν Χριστῷ πρωτοτόκων, τὸν μέγαν Γρηγόριον.

Δόξα. Ὅμοιον.

Τὸν βίον εὐσεβῶς, ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρὸν, Θείου Πνεύματος ὤφθης, Γρηγόριε πανόλβιε· τῶν ἀγγέλων συνόμιλε· ὅθεν σήμερον, σοῦ τὴν ὁλόφωτον μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν εὐχαῖς σου λαμβάνομεν.



Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ἐλπὶς χριστιανῶν, Θεοτόκε Παρθένε· ὃν ἔτεκες Θεὸν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε μετὰ τοῦ Ἱεράρχου τε, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ, ἀεί σε δοξάζουσιν.

Οἱ ἀναβαθμοὶ τοῦ δ'. ἦχου τὸ πρῶτον ἀντίφωνον.

Προκείμενον ἦχος δ'.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Τὸ, Πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα. Ὁ Ν'.

Ζήτει χθὲς εἰς τοῦ Χρυσοστόμου.

Δόξα, ἦχος β'.

Σήμερον σκιρτῶσιν ἐν πνεύματι Ἀρχιερέων δῆμοι, σὺν ἡμῖν τιμῶντές σου τὴν μνήμην Ἱεράρχα, Γρηγόριε ὅσιε, φωστὴρ τῆς Ἐκκλησίας.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Ἐλέησόν με ὁ Θεὸς κτλ.

Τὸ Ἰδιόμελον, ἦχος πλ. β'.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, ὅσιε πάτερ, καὶ γέγονας ποιμὴν τῆς Θεσσαλονίκης, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ θεότητι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Καὶ τὰ ἑξῆς.

## ΟΙ ΚΑΝΟΝΕΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΤΟΥ ΙΕΡΑΡΧΟΥ

Τοῦ Ἀποστόλου ᾠδὴ ά. ἦχος πλ. β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ταῖς ὑπερφώτοις ἀκτῖσι ταῖς τοῦ Χριστοῦ, θεϊκῆς λαμπρότητος, ἐνειδόμενος τρανῶς, θεοκῆρυξ Φίλιππε ταῖς σαῖς, κατὰ μέθεξιν αὐγαῖς, ἡμᾶς καταύγασον.

Ὁ τοῦ Πατρός σοι τὴν δόξαν δι' ἑαυτοῦ, ὑποδείξας Φίλιππε, τῷ χορῷ τῶν μαθητῶν, σὲ Χριστὸς ἐνέταξε τὴν σήν, προγινώσκων ἀρετήν, θεομακάριστε.

Νῦν οὐκ αἰνίγμασι βλέπεις, οὐδὲ σκιαῖς, οὐδ' ἐσόπτροις πάνσοφε, τὴν πηγὴν τῶν ἀγαθῶν, ὀρεκτοῦ τὸ ἔσχατον Χριστόν, ἀλλὰ πρόσωπον ὁρᾷς, σαφῶς πρὸς πρόσωπον. Θεοτοκίον.

Ἐκλελειπότων ἀρχόντων ἐκ τῆς φυλῆς, τοῦ Ἰούδα πάναγνε, ὁ Υἱός σου καὶ Θεός, προελθὼν ἡγούμενος τῆς γῆς τῶν περάτων ἀληθῶς νῦν ἐβασίλευσε.

Τοῦ Ἱεράρχου ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου.

Ῥητόρων οἱ ἔνθεοι, καὶ θεολόγων οἱ πρόκριτοι, καὶ γλῶσσαι θεόφθογγοι, δεῦτε συνέλθετε, εἰς ἑνότητα, ὑμνῆσαι κατ' ἀξίαν, τὸν πνευματορήτορα θεῖον Γρηγόριον.

Ὁ στῦλος τῆς πίστεως, τῆς Ἐκκλησίας ὁ πρόμαχος, ὁ μέγας Γρηγόριος ἀνευφημήσθω μοι, ὁ πανάριστος, ποιμὴν Θεσσαλονίκης, ὁ κόσμος τοῦ τάγματος ἱεραρχῶν ἀληθῶς. Δόξα.

Ἐκ βρέφους ἐπόθησας κρείττονα βίον καὶ τέλειον, Πάτερ ἐκ νεότητος, ἔστερξας φρόνημα, καὶ ὁμότροπος, καὶ σύμφρων ἀνεδείχθης, τοῦ συνωνυμοῦντός σε, θεῖε Γρηγόριε. Καὶ νῦν, Θεοτοκίον.

Γενοῦ μοι πανάμωμε ζωῆς ὁδὸς ὁδηγοῦσά με, πρὸς



θεῖα σκηνώματα, ἀπεπλανήθην γάρ, καὶ πρὸς βάραθρα, κακίας ὀλισθαίνω, ἐξ ὧν με ἀνάγαγε τῇ μεσιτείᾳ σου.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Τοῦ Ἀποστόλου.

Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ὑπάρχων ἔμπλεως φωτός. πρακτικῆς θεωρίας, τῷ φωτὶ τῷ μεγάλῳ, γενομένῳ μεθ' ἡμῶν, κατηξιώθης Χριστῷ, λειτουργῆσαι, Φίλιππε θεσπέσιε.

Κρηπὶς δογμάτων εὐσεβῶν, ἡ σὴ μυσταγωγία, τοῖς πιστοῖς ἀνεδείχθη· δι' αὐτῆς γὰρ τὸν Υἱόν, ἐπέγνωμεν συμφυῶς, ἡνωμένον, ὄντα τῷ γεννήτορι.

Λυχνία γέγονας χρυσῆ, δᾳδουχῶν τοῖς ἀνθρώποις, τὸ ἀΐδιον φέγγος, καὶ φωτίζον τῇ αὐτοῦ, τὴν οἰκουμένην σαφῶς, ἐπιγνώσει, Φίλιππε πανάριστε.

Θεοτοκίον.

Ἐπὶ σοὶ πάναγνε σεμνή, πεποιθὼς μὴ ἐκπέσω, τῆς εἰς σὲ προσδοκίας· ἀλλ' ὡς μήτηρ συμπαθής, τοῦ φιλανθρώπου Θεοῦ, τῶν παγίδων τοῦ ἐχθροῦ με λύτρωσε.

Τοῦ Ἱεράρχου. Τοὺς σοὺς ὑμνολόγους.

Τὰ ῥεῖθρα τῶν θείων διδαχῶν σου, φυλάττοντες πᾶσαν μηχανήν, τῶν κακοδόξων φεύγομεν, καὶ πάσας ἐκκρουόμεθα, τοῖς ἱεροῖς συγγράμμασι, φάλαγγας τούτων Γρηγόριε.

Σοφίας μωρὰς τῶν κακοδόξων, διέλυσας μάκαρ τοῦ Θεοῦ, σοφίαν ἐνυπόστατον, ἔχων ἐν τῇ καρδίᾳ σου, δι' ἧς μετ' ἤχου ἔθραυσας, τὰ σαθρὰ τούτων φρυάγματα.

Νεκρώσας σαρκὸς τῆς φθειρομένης, πᾶσαν ἡδυπά-

θείαν σοφὲ, ἀσκητικῶς ἐζώωσας ψυχῆς σου τὰ κινήματα, καὶ ταύτην θεῖον ὄργανον, θεολογίας ἀνέδειξας.

Θεοτοκίον.

Ἐν γνώσει φρενῶν καὶ προαιρέσει, αἰσχράν τε καὶ ἄσωτον ζωὴν, ἐπιμελῶς ἠγάπησα, ἀλλὰ στοργῇ τῇ θείᾳ με, παρθένε θεονύμφευτε, δέσμευσον θείᾳ πρεσβείᾳ σου.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κοντάκιον. Τῇ ὑπερμάχῳ. Τοῦ Ἱεράρχου.

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον ὄργανον, θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα, ἀνυμνοῦμέν σε Γρηγόριε θεοῤῥῆμον· ἀλλ' ὡς νοῦς νοὶ τῷ πρώτῳ παριστάμενος, πρὸς αὐτὸν τὸν νοῦν ἡμᾶς πάτερ ὁδήγησον, ἵνα κράζωμεν χαῖρε κῆρυξ τῆς χάριτος.

Ὁ Οἶκος.

Ἄγγελος ἀνεφάνης, ἐπὶ γῆς τῶν ἀῤῥήτων, τὰ θεῖα τοῖς βροτοῖς ἐξαγγέλων· ταῖς γὰρ τῶν ἀσωμάτων φωναῖς, ἀνθρωπίνῳ νοΐ τε, καὶ σαρκὶ χρώμενος· ἐξέστησας ἡμᾶς, καὶ βοᾶν σοι θεοῤῥῆμον ἔπεισας ταῦτα· Χαῖρε, δι' οὗ τὸ σκότος ἐλύθη· χαῖρε, δι' οὗ τὸ φῶς ἀντεισῆλθε· χαῖρε τῆς ἀκτίστου θεότητος ἄγγελε· χαῖρε, τῆς κτιστῆς καὶ μωρᾶς ὄντως ἔλεγχε· χαῖρε, ὕψος ἀνεπίβατον, τὴν Θεοῦ φύσιν εἰπών· χαῖρε, ὅτι τὴν δόξαν, τοῦ Θεοῦ καλῶς εἶπας· χαῖρε, ὅτι τὰς δόξας τῶν κακούργων ἐξεῖπας· χαῖρε, φωστὴρ, ὁ δείξας τὸν Ἥλιον· χαῖρε, κρατὴρ, τοῦ νέκταρος πάροχε· χαῖρε, δι' οὗ ἡ ἀλήθεια λάμπει· χαῖρε, δι' οὗ ἐσκοτίσθη τὸ ψεῦδος· χαῖρε, κῆρυξ τῆς χάριτος.



Κάθισμα, ἦχος πλ. δ.'

Τὴν σοφίαν καὶ Λόγον. Τοῦ ἀποστόλου.

Ὀμβροφόρος νεφέλη πνευματικὴ, ἀληθῶς ἀνεδείχθης τοῖς ἐπὶ γῆς, ποτίζων ὡς ἄρουραν, μυστικῶς τὰς καρδίας ἡμῶν· διαδραμὼν γὰρ τῷ λόγῳ, δροσίζεις τὰ πέρατα, ὑετοὺς προχέων, τὰ μύρα τῇ λάρνακι· ὅθεν διαπνεύσας, ταῖς ἀπίστοις καρδίαις, ὀσμὴν τὴν τοῦ πνεύματος, ἐν αὐταῖς ἐθησαύρισας, ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Τοῦ Ἱεράρχου ὅμοιον.

Τῆς ψυχῆς σου καθάρας τὸ ὀπτικὸν, εἰς τὸν γνόφον χωρήσας τὸν μυστικόν· τὰ κάλλη κατώπτευσας, τῆς ἀῤῥήτου θεώσεως. καὶ θεὸς ἐγένου, σοφὲ κατὰ μέθεξιν, χαρισμάτων θείων, ταμεῖον γενόμενος· ὅθεν καὶ τὰ πόῤῥω, ὡς παρόντα ἑώρας, καὶ δένδρα τὰ ἄκαρπα, σὺ ἐποίησας κάρπιμα, καὶ στειρώσεις διέλυσας, Γρηγόριε Πατὴρ ἡμῶν. Τῶν δαιμόνων κούφισον κακώσεων, τοὺς ἑορτάζοντας πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, ἀπὸ βρέφους μολύνας ὁ μιαρὸς, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατεῤῥύπωσα· καὶ οὐκ ἔχω τί πρᾶξαι, οὐδὲ καταφύγιον, ἀλλ' οὐδ' ἄλλην ἐλπίδα, πλὴν σου κόρη ἐπίσταμαι. Φεῦ μοι τῷ ἀχρείῳ! διὰ τοῦτο ἱκέτης, πρὸς σὲ τὴν Πανάχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ, ἥμαρτον· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· εἰς σὲ γὰρ πᾶσαν ἐλπίδα, ἀνέθηκα, Δέσποινα.

Τοῦ Ἀποστόλου, ᾠδὴ δ'.

Χριστός μου δύναμις.

Ἡλίου σκήνωμα, Χριστοῦ τοῦ ὄντος φωτός, καὶ ναὸς ἀνεδείχθης χωρητικὸς τούτου τῆς λαμπρότητος καὶ οὐρανὸς δόξαν Θεοῦ, τοῖς ἀνθρώποις διηγούμενος.

Φθαρείσης πάθεσι τῆς ἀνθρωπότητος, ἐμβληθεὶς θεῖον ἅλας παρὰ Χριστοῦ, ταύτης ἀπεξήρανας, τὴν σηπεδόνα τὴν δεινὴν, Θεοφάντορ ἀξιάγαστε.

Ἰσχύει Φίλιππε Χριστοῦ ῥωννύμενος, τῶν δαιμόνων τοῦ στίφους καὶ δυσσεβῶν, ὤφθης δυνατώτερος, τοῖς ἐπὶ γῆς ἀναβοῶν, ζωῆς θεῖα εὐαγγέλια.

Θεοτοκίον.

Λιμένα εὔδιον, Χριστὸς ἀνέδειξε, τοῖς ἐν πίστει καὶ πόθῳ σὲ ἀληθῆ, Δέσποινα πανάμωμε, ἐκ διανοίας καθαρᾶς, Θεοτόκον καταγγέλλουσι.

Τοῦ Ἱεράρχου. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Ἀνοίξας τὸ στόμα σου Πάτερ σοφὲ, τὸ Θεοῦ σοφίαν ἐκήρυξας, ἣν ἐμελέτας ἐν καρδίᾳ ἀεὶ, καὶ Βαρλαὰμ τὸν μάταιον, ἄφρονα καὶ ἄνουν ἀπέδειξας.

Ἔδυς ὁ γλυκύτατος ὑπὸ τὴν γῆν, ἥλιος τῷ νόμῳ τῆς φύσεως, ἀνατελεῖς δὲ, τῷ πρωῒ σὺν τῷ Χριστῷ· ἥλιος ὁ ἀνέσπερος, πάντας ἐποπτεύων πρεσβείαις σου.

Ἔδειξεν ἡ χάρις σε μάκαρ Θεοῦ, καύχημα καὶ στήριγμα μέγιστον, τῶν ὀρθοδόξων καὶ ποιμένα ἀγαθὸν, καὶ Θεολόγον δεύτερον καὶ τῆς Θεσσαλονίκης ἄγρυπνον φύλακα. Θεοτοκίον.

Ὦτά μοι διάνοιξον τὰ τῆς ψυχῆς, μῆτερ τοῦ Θεοῦ ἡ γεννήσασα, τὸν πρὶν τὰ ὦτα διανοίξαντα κωφοῦ, καὶ θείους ἐνωτίζεσθαι, λόγους καὶ πληροῦν καταξίωσον.

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.



Ὠδὴ ἑ. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Τοῦ Ἀποστόλου.

Τὸν ψυχόλεθρον τοῦ ἐχθροῦ, ταῖς ἀλεξικάκοις σου, θεοῤῥήμον παλάμαις ἐξήρανας, τοὺς θανατηφόρῳ κεκρατημένους βυθῷ, χαλεπῆς ἀλγηδόνος ἀναῤῥυόμενος.

Πυρίπνους ὅλος ἀναδειχθεὶς, τῇ τοῦ παρακλήτου ἐπιδημίᾳ, καὶ χάριτι Φίλιππε, τοὺς ἀποφυγέντας ἐν ἀθείας κρυμνῷ, τῇ τῆς πίστεως θέρμῃ ἐζωοποίησας.

Πλησίον γέγονας τοῦ Χριστοῦ, τὰς ἐκδιδομένας λαμπηδόνας, ἀμέσως δεχόμενος, καὶ διαβιβάζων τοῖς σοὶ προστρέχουσι φωτίζων καὶ προσάγων, τούτους τῷ κτίστῃ σου. Θεοτοκίον.

Ὁ λόγῳ πάντα δημιουργῶν, καὶ σοφῇ προνοίᾳ κυβερνῶν, μόνος ὡς βούλεται Κύριος, ἄκρᾳ εὐσπλαγχνίᾳ, δημιουργεῖται ἐξ οὗ, καὶ σὰρξ ἀνερμηνεύτως Πάναγνε γίνεται.

Τοῦ Ἱεράρχου. Ἐξέστη τὰ σύμπαντα.

Δρεπάνῃ τῶν λόγων σου, καὶ ἱεροῖς συγγράμμασιν, ἔτεμες αἱρέσεις ἀκανθώδεις, καὶ ζιζανίων νόθα βλαστήματα, τῆς ὀρθοδοξίας δι' εὐσεβῆ κατεβάλλου σπέρματα, Ἱεράρχα Γρηγόριε.

Οἱ λόγοι σου πάνσοφε, καὶ τὰ σεπτὰ συγγράμματα, δρόσος οὐρανίου μέλι πέτρας, ἄρτος ἀγγέλων τοῖς ἐντυγχάνουσι, νέκταρ ἀμβροσία γλυκασμὸς, ἥδυσμα Γρηγόριε, καὶ πηγὴ ζῶντος ὕδατος.

Κοινόν σε διδάσκαλον, γνωρίζει γῆ καὶ θάλασσα, στήλην ἱερὰν ὀρθοδοξίας, καὶ ὁπλοθήκην θείων δογμάτων σεπτὴν, σοφὸν θεολόγον ἱερὸν, σύσκηνον συμμέτοχον ἀποστόλων ὁμότροπον.

Θεοτοκίον.

Ῥείθροις κατανύξεως, τοὺς ῥύπους τῆς καρδίας μου,

ἄχραντε ἀπόπλυνον παρθένε, καὶ μετανοίας τρόπους μοι δώρησαι, ταῖς πρὸς τὸν οἰκτίρμονα Θεὸν, ἱεραῖς δεήσεσιν, ὃν ἀῤῥήτως ἐγέννησας.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Τοῦ Ἀποστόλου. Ὠδὴ ς'.

Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη.

Νεμομένην, καὶ λυμαινομένην, βλέπων τὴν πλάνην τοῦ ἐχθροῦ, τὸ τῶν ἀνθρώπων γένος, τὰ σὰ βέλη τὰ ἠκονημένα, τοὺς Ἀποστόλους τείνας ἐξαπέστειλας, καὶ διήνοιξας θώρακος πτύξιν, Χριστὲ τοῦ δράκοντος, ἅπαντας τῆς αὐτοῦ, λύμης καὶ φθορᾶς Σῶτερ ἰώμενος.

Ὑπερτέρω, φέγγει καταλάμπων, ὤφθης καθάπερ ἀστραπὴ, τῇ οἰκουμένῃ φαίνων, καὶ ὡς ὄρος γλυκασμὸν σταλάζον, ὡς Θεοῦ δρόσος οὐρανόθεν πίπτουσα, ὡς Ἀπόστολος ἐκλελεγμένος, τὴν δωδεκάριθμον, φάλαγγα συμπληρῶν, τὴν τῶν μαθητῶν Χριστοῦ πανόλβιε.

Μυηθείς σου, τὰ τοῦ Μυστηρίου βάθος, ὁ θεῖος μαθητὴς, ὡς ποταμὸν εἰρήνης, ἐπιβλύζοντα τρυφῆς χειμάῤῥουν, ὡς ἐπικλύζον κῦμα δόξαν ἔθνεσι, σὲ ἐκήρυξε μεγαλοφώνως, καὶ τὴν σὴν ἔνδοξον, κένωσιν ἀγαθὲ, τὴν ὑπὲρ ἡμῶν εὐηγγελίσατο.

Θεοτοκίον.

Νεκρουμένους, καὶ ἀπολλυμένους, πάντας θανάτῳ τοὺς βροτοὺς, σὺ τὸν Χριστὸν τεκοῦσα, τὴν ἀκήρατον ἀθανασίαν, ἀνεκαλέσω πρὸς ζωὴν αἰώνιον, καὶ ἐφώτισας ἐσκοτισμένους, καὶ ἠλευθέρωσας, λύσασα τὰ δεσμὰ τῆς ἀπαγωγῆς ἡμῶν πανύμνητε.

Τοῦ Ἱεράρχου. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ἐῤῥάγη μάταιον φρύαγμα, καὶ γλῶσσα Βαρλαὰμ



τοῦ παράφρονος, λόγοις καὶ δόγμασι καὶ διανοίας ὀξύτητι, τοῦ σοφοῦ βασιλέως καὶ σοῦ Γρηγόριε.

Τὴν θείαν λύραν τοῦ πνεύματος, τὴν σάλπιγγα τρανῶς τὴν κηρύξασαν, Θεοῦ μυστήρια, Θεσσαλονίκης τὸν πρόεδρον, τὴν θεολόγον γλῶσσαν, ὕμνοις τιμήσωμεν.

Λαοῦ ποτὲ προηγούμενος, ὡς στύλος τοῦ φωτὸς, τοὺς τῆς πίστεως ἐχθροὺς κατέφλεξας, τῶν δὲ πιστῶν τὰ συστήματα, ἐφώτισας θεόφρον, Πάτερ Γρηγόριε.

Θεοτοκίον.

Γενοῦ μοι πάναγνε Δέσποινα, γαλήνη καὶ λιμὴν παρακλήσεως, διαβιβάζουσα, πρὸς θεῖον ὅρμον ἀκύμαντον, τὴν ζάλην τῶν παθῶν μου καταπραΰνουσα.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον ἦχος, πλ. δ'. Ὡς ἀπαρχὰς τῆς.

Τοῦ Ἀποστόλου.

Ὁ μαθητὴς καὶ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ οἰκουμένῃ Θεόν σε ἐκήρυξεν, ὁ Θεηγόρος Φίλιππος, ταῖς αὐτοῦ ἱκεσίαις, ἐξ ἐχθρῶν παρανόμων, τὴν ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Ὁ οἶκος.

Ρεῖθρα λόγου παράσχου μοι Κύριε, ὁ ὑδάτων τὴν φύσιν δειμάμενος· τὴν καρδίαν μου στήριξον Δέσποτα, ὁ τὴν γῆν στερεώσας τῷ λόγῳ σου· καὶ φώτισόν μου τὴν διάνοιαν, ὁ τὸ φῶς ὡς χιτῶνα ἀναβαλλόμενος, ἵνα λέγω καὶ ψάλλω τὰ πρέποντα, καὶ ἀξίως ὑμνήσω τὸν σὸν μαθητὴν πολυέλεε.

Τῇ ιδ'. τοῦ αὐτοῦ μηνὸς, μνήμη τοῦ Ἁγίου ἐνδόξου

καὶ πανευφήμου Ἀποστόλου Φιλίππου, ἑνὸς τῆς πρώτης χορείας τῶν δώδεκα.

ΣΤΙΧΟΙ.

Ἀρθεὶς Φίλιππος ἐκ ποδῶν ἐπὶ ξύλου,
Τὰ τῶν ποδῶν σοι νίπτρα Σῶτερ ἐκτίει,
Ἠρ. κεκκεφαλῆς δεκάτη Φίλιππε τετάρτη.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ.

ΣΤΙΧΟΙ.

Φωτὸς Θεοῦ κήρυκα νῦν ὄντως μέγαν.
Πηγὴ φάος ἄδυτον, ἄγει πρὸς φάος.
Θεῷ συνήφθη γρηγορῶν φερωνύμως.
Καὶ ζῆς μεταστὰς, θαυματουργεῖς δ' ἐν τάφῳ.
Τίς ἄν σε Γρηγόριε, τίς ἐπαινέσαι;
Τιμῆς Θεοῦ λαχόντα τῆς ἐκ θαυμάτων,
Γρηγόριος θάνεν ἀρχιθύτης, τετάρτῃ δεκάτῃ τε.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἡμῶν ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οἱ παῖδες ἐν Βαβυλῶνι. Τοῦ Ἀποστόλου.

Ὡς φέγγος ἐξαπεστάλης, βολίδος δίκην ἀπόστολε, σελασφόροις βολαῖς, καταυγάζων, τοὺς ἐν πίστει κραυγάζοντας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Πλουσίαις φωτοχυσίαις, τοῦ θείου μάκαρ κηρύγματος, διαλάμπων φαιδρῶς τοὺς ἐν σκότει, μελῳδεῖν κατεφώτισας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ῥητόρων ἀδολεσχίαν, καὶ λόγων πᾶσαν δεινότητα, τῷ συντόνῳ λόγῳ ἐκνικήσας, τῷ τῆς πίστεως ἔψαλλες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.



Θεοτοκίον.

Οὐσίας ὑπερουσίως, παρθένε δύο γεγέννηκας ἡνωμένας ἁγνὴ ἀσυγχύτως τῷ Χριστῷ, ᾧ κραυγάζομεν εὐλογητὸς εἶ κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τοῦ Ἱεράρχου. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Οἱ τοῖς σοῖς λόγοις ὁμιλοῦντες καὶ συγγράμασι, τοῖς σοῖς Γρηγόριε, γνῶσιν μυοῦνται Θεοῦ καὶ ἔμπλεοι δείκνυνται, σοφίας πνευματικῆς, καὶ τὴν ἄκτιστον χάριν καὶ τὴν ἐνέργειαν, τοῦ Θεοῦ θεολογοῦσι.

Τὴν ῥομφαίαν καὶ τὰ τόξα ὅλως κακοδόξων τε συνέτριψας, καὶ τὴν ὀφρῦν Βαρλαὰμ, καὶ πᾶσαν τὴν δύναμιν αἱρετικῶν ὡς ἱστὸν, διεσκόρπισας, οἷά περ λίθος μέγιστος, τῆς ἀράχνης Ἱεράρχα.

Ἐσφραγίσθη σου τοῖς λόγοις καὶ τοῖς δόγμασι, καὶ τοῖς συγγράμμασιν, ἡ πίστις τῶν εὐσεβῶν, καὶ θράσος αἱρέσεως ἔστη Γρηγόριε, καὶ ἀναίρεσις ὀρθοδοξίας πέπαυται καὶ ἰσχὺς τῶν κακοδόξων.

Θεοτοκίον.

Ἰαμάτων σε πηγὴν οἱ ξηραινόμενοι, παθῶν νοσήμασι, γινώσκοντες ἀληθῶς, ἀντλοῦμεν σωτήρια, καὶ θεῖα νάματα, καὶ κραυγάζομεν, εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Καταβασία. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ὠδὴ ή. Νόμων πατρῴων. Τοῦ Ἀποσσόλου.

Φῶς σε τοῦ κόσμου ἀπετέλεσε τὸ πατρικὸν φῶς, Λόγος ὁ ἐνυπόστατος, ἐκλεξάμενος ἀπόστολον, ἐκ τοῦ κόσμου τρισμάκαρ· καὶ καθοπλίσας, θείᾳ δυναστείᾳ τῇ αὐτοῦ, ἐπαφῆκεν ἀήττητον, ὡς ὁπλίτην βοῶντα· τὸν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΔΗΜΗΤΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥώμῃ τῇ θείᾳ δυναμούμενος, τὰς ἀντιπάλους τάξεις ὑπερενίκησας, τὴν ἀτίθασσον παράταξιν, τὴν αὐτῶν καταλύσας· τὴν γὰρ εἰρήνην κλῆρον ἀναφαίρετον λαβὼν, εἰρηναίαν κατάστασιν, ἐφύτευσας τῷ κόσμῳ, τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὅλῳ τῷ πόθῳ προσεπέλασας, τῷ σαρκωθέντι Λόγῳ Θεοῦ ἀπόστολε, μαθητὴς τούτου γενόμενος, καὶ θεῖος ὑπηρέτης, καὶ μυστολέκτης· ὅθεν ὑπ' αὐτοῦ ἀποσταλεὶς, εἰς τὰ ἔθνη ἐκήρυξας, αὐτοῦ τὴν παρουσίαν· τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὅλος ἡνώθη ὑπὲρ ἔννοιαν, ἀναλλοιώτως ὅλῃ τῇ ἀνθρωπότητι, ὁ ὑπέρθεος ἐν μήτρᾳ σου, Παναγία παρθένε· ὅθεν ἐν δύο φύσεσι γνωρίζεται Χριστὸς, εἷς ὑπάρχων ἀμφότερα, ὃν ὑμνοῦντες βοῶμεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος τοῦ Ἱεράρχου. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Παρίστασαι νῦν τοῖς Θεολόγοις, τοῦ θρόνου τοῦ πανοικτίρμονος ὡς ὅμοιος τούτοις καὶ ὁμότροπος, πάνσοφε Γρηγόριε Θεσσαλονίκης πρόεδρε, ἱεραρχῶν καλλονὴ, λαμπρῶς, ἠγλαϊσμένος τῇ δόξῃ, τῆς Ἱεραρχίας, Θεῷ καὶ νῦν λατρεύων.

Εἰδώς σου τὸ καθαρὸν τῆς διανοίας, Θεὸς καὶ πρὸ συλλήψεως, τῷ πιστῷ λελάχηκε, θείῳ βασιλεῖ τρανῶς, τῆς ἐκκλησίας ἄμαχον, εἶναί σε πρόμαχον· διὸ κανονικῇ ἀσφαλείᾳ, μύρῳ ἐσφραγίσθης, τῆς ἀρχιερωσύνης.

Ἡττᾶται τρανῶς καὶ κινδυνεύει, τὸ ἄθροισμα τοῦ πολυκινδύνου τῇ καλάμῃ σου· καὶ σοφοῖς σου ῥήμασιν



ἔνδοξε Γρηγόριε, Θεσσαλονίκης πρόεδρε, καὶ ὡς ἐκλείπει καπνός· ἐξέλιπε, σαθρὰ συμμορία, σοῦ τῇ βροντοφώνῳ, καὶ θεολόγῳ γλώσσῃ.

Θεοτοκίον.

Ὁ λόγος Θεοῦ ἐν σοὶ Παρθένε, βροτῶν τὴν συγκεχωσμένην τοῖς παθήμασι, φύσιν ἀνεμόρφωσεν, ἄκρα ἀγαθότητι, καὶ ὅλην ἀνεκαίνισε καὶ καθηγίασε, δι' ὃ οἱ διὰ σοῦ σεσωσμένοι, σὲ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ θ'. Ἀπορεῖ πᾶσα γλῶσσα.

τοῦ Ἀποστόλου.

Νῦν ἀπορρήτου δόξης, καὶ Φωτὸς ἀνεσπέρου, ἠξιωμένος ἔνθα ἡ ἀνέκφραστος, ὑπάρχει εὐφροσύνη, ἔνθα ἡ χαρὰ ἡ ἄληκτος, ἐν ἐκκλησίᾳ, τῶν πρωτοτόκων ἔνθα, δικαίων αἱ σκηναὶ, πάντων Χριστιανῶν ὑπερεύχου Φίλιππε πάνσοφε.

Ὡραϊσμένος κάλλη, νοητῆς εὐπρεπείας, καὶ βασιλείας στέφος περικείμενος θεόφρον καὶ πλουσίαις, Φίλιππε περιχεόμενος, φωτοδοσίαις, τῆς τοῦ ὑπερουσίου, φωτὸς μαρμαρυγῆς, χαίρων τὸ τοῦ Δεσπότου σου θρόνῳ, μάκαρ παρίστασαι.

Σὺν Ἀποστόλοις πᾶσι, σεπτοῖς τε καὶ προφήταις, καὶ σὺν ἀθλοφόροις Φίλιππε ὁσίοις, ἱεράρχαις, δικαίοις, σὺν τῇ Θεοτόκῳ πρέσβευε, λύσιν πταισμάτων, καὶ τῶν ἀμπλακημάτων, δοθῆναι ἱλασμὸν, πίστει τοῖς τὴν φωσφόρον καὶ θείαν μνήμην τελοῦσί σου.

Θεοτοκίον.

Σεσαρκωμένον λόγον, τὸν πρὶν ἄσαρκον ὄντα ὑπερφυῶς παρθενομῆτορ τέτοκας· διὸ σε Θεοτόκον, πάντες

εὐσεβῶς κηρύττομεν, ἀληθεστάτην, σοὶ τὴν προσηγορίαν, ἁρμόζοντες ἁγνή· σὺ γὰρ τῆς τῶν πιστῶν σωτηρίας ῥίζα καθέστηκας.

Τοῦ Ἱεράρχου· ἄλλος. Ἅπας γηγενής.

Ἔσοπτρον Θεοῦ, ἐγένου, Γρηγόριε, τὸ κατ' εἰκόνα γάρ, ἄσπιλον ἐτήρησας, νοῦν δὲ ἡγεμόνα κατὰ παθῶν σαρκικῶν, ἀνδρικῶς εὐστησάμενος, τὸ καθ' ὁμοίωσιν, ἀνελάβου. ὅθεν οἶκος γέγονας, τῆς Ἁγίας Τριάδος λαμπρότατος.

Ἄναξ εὐσεβής, ὑπόπτερον δείκνυσιν. ἀεροβάτην σε τούτῳ συμμαχήσαντα, ὡς ὅλον ἔμπλεον, θείου πνεύματος, κατὰ τοῦ ματαιόφρονος, καὶ μανικοῦ Βαρλαάμ, τοῦ λαλοῦντος εἰς τὸ ὕψος ἄδικα, τοῦ Θεοῦ δν ἐνδίκως ἐνίκησας.

Ὅλος γεγονώς, σοφίας τῆς κρείττονος, ἔμπλεος ἔνδοξε, φῶς τῷ κόσμῳ ἔλαμψας, ὀρθοδοξίας πηγάσας δόγματα· φιλίᾳ γὰρ ἀμείνονος φιλοσοφίας σοφέ, θεῖον φόβον, ἐν γαστρὶ συνέλαβες, καὶ τοῦ πνεύματος λόγους γεγέννηκας. Θεοτοκίον.

Ὕμνον σοι πιστοί, συμφώνως προσφέρομεν, εὐχαριστίας· σὺ γάρ, τὴν ἀρχαίαν ἔλυσας, ἡμῶν κατάραν Θεογεννήτρια, καὶ εὐλογίαν ἅπαντες θείαν καρπούμεθα, σωτηρίαν φωτισμὸν καὶ ἔλεος, διὰ σοῦ καὶ χαρὰν τὴν αἰώνιον.

Ἐξαποστειλάριον· τοῦ Ἀποστόλου.

Ἐν Πνεύματι τῷ Ἱερῷ.

Δρόμον ὡραίων σου ποδῶν, Φίλιππε ἀναστρέψας πορείαν τὴν οὐράνιον, ἀνελήλυθας χαίρων· καὶ τῇ Τριάδι



παρεστώς, ἐν Πατρὶ τεθέασαι, Υἱὸν καὶ Πνεῦμα τὸ θεῖον· διὰ τοῦτό σου πόθῳ, τὴν πανίερον καὶ θείαν ἑορτάζομεν μνήμην.

Ἕτερον τοῦ Ἱεράρχου.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Χαῖρε πατέρων καύχημα, θεολόγων τὸ στόμα τῆς ἡσυχίας σκήνωμα, τῆς σοφίας ὁ οἶκος τῶν διδασκάλων ἀκρότης, πέλαγος τὸ τοῦ λόγου· πράξεως χαῖρε ὄργανον, θεωρίας ἀκρότης, θεραπευτά, καὶ νόσων τῶν ἀνθρωπίνων, πνεύματος χαῖρε τέμενος, καὶ θανὼν καὶ ζῶν πάτερ.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον· τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη· ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ τὸ Πανάγιον Πνεῦμα, ἐπισκιάσαν σοι κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τρία τοῦ Ἀποστόλου ἦχος ά. καὶ τρία τοῦ Ἱεράρχου ἦχος πλ. δ'.

Στιχ. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων σου φθόγγων τὰ ἀπηχήματα, ἐπὶ τῆς γῆς παμμάκαρ, διεχύθη καὶ ταύτην, ἐπλήρωσε δογμάτων· δι' ὧν τὸν Υἱόν, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, θεολογοῦντες, Ἀπόστολε, μυστικῶς, ὁμοούσιον δοξάζομεν.

Αἰνεῖται αὐτὸν ἐν στερεώματι.

Ὡς ἑωσφόρον σε πάντες τῶν Ἀποστόλων Χριστοῦ, καὶ φαεινὸν λαμπτῆρα, τῆς σεπτῆς ἐκκλησίας, Φίλιππε τρισμάκαρ, ἔχοντες νῦν, τὰς ψυχὰς φωτιζόμεθα καὶ ἐκ κινδύνων λυτρούμεθα δυσχερειῶν, ταῖς πρεσβείαις σου πανεύφημε.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ.

Διὰ σταυροῦ τὸν ἀγῶνα τὸν τῆς ἀθλήσεως, διηνεκῶς τῆς νίκης, ἀνεδήσω στεφάνους, Φίλιππε ἀξίως· μεθ' ὧν εἰσελθὼν, εἰς τὰ ἄνω βασίλεια, συμπαρεδρεύεις Ἀπόστολε τῷ Χριστῷ, καὶ πρεσβεύεις τοῦ σωθῆναι ἡμᾶς.

Τοῦ Ἱεράρχου. Αἰνεῖται αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ ἱερὲ Γρηγόριε· σὺ τὸν Θεὸν ἐκ παιδὸς, ἀγαπήσας ἐξέφυγες, ὑλικὴν προσπάθειαν, καὶ τοῦ κόσμου τὸ ἄστατον· καὶ τὸν σταυρὸν γενναίως ἀράμενος, τῷ σῷ δεσπότῃ κατηκολούθησας, πένθει καὶ δάκρυσι, τὴν ψυχὴν καθάρας τε, σοῦ καὶ τὸν νοῦν, ὅλος ἐχρημάτισας θεοειδέστατος.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ.

Πάτερ ἱερὲ Γρηγόριε, σὺ τὴν καρδίαν καλῶς, θεωρίᾳ καὶ πράξει τε, καθαρθεὶς τοῦ πνεύματος, ἐχρημάτισας τέμενος· καὶ τὰς ἐλλάμψεις τούτου δεχόμενος, φῶς ὤφθης ὄντος τοῖς προσπελάζουσι· τοῦτο γενόμενος, κατὰ χάριν ἔνδοξε, ὅπερ αὐτὸ, φύσει θείᾳ πέφυκε, μὴ μεριζόμενον.



Αἰνεῖται αὐτὸν ἐν κυμβάλοις εὐήχοις.

Πάτερ ἱερὲ Γρηγόριε· σὺ τὴν κακίστην σπορὰν, καὶ τὴν ῥίζαν ἀνώρυξας Βαρλαὰμ τὸν βέβηλον, ἐκτεμὼν ξίφει πνεύματος· τὸν δὲ προδότην αὖθις τῆς πίστεως, μύστην τε τούτου λῆρον Ἀκίνδυνον, θείου πληρώματος ἐκβαλὼν συνέταξας, τοῖς ὑβρισταῖς, Ἑβραίοις ζηλώσαντα, τὴν τούτων ἔννοιαν.

Δόξα ἦχος πλ. δ'.

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα· δεῦτε καταστέψωμεν ᾄσμασι τὸν Ἱεράρχην, ὡς δοξασθέντα παρὰ Χριστοῦ τοῦ Θεοῦ· σήμερον γὰρ ἀοράτοις ἐξαστράπτων χάρισι, τῶν πιστῶν φαιδρύνει τοὺς προσιόντας· δι' ὃ πάντες προσέλθωμεν, πίστει ἀψώμεθα, σὺν πόθῳ ἀσπασώμεθα, καὶ θερμῶς ἐκβοήσωμεν, θειότατε πάτερ, μὴ ἐπιλάθῃ τῶν δούλων σου· τῶν πιστῶς περικυκλούντων, τὴν παναγίαν σου λάρνακα.

Καὶ νῦν· Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν.

Τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος ἡ γ'. ᾠδὴ τοῦ Ἀποστόλου καὶ ἡ ς' τοῦ Ἱεράρχου. Ὁ ἀπόστολος ζήτει χθὲς τοῦ Χρυσοστόμου. Εὐαγγέλιον τοῦ Ἀποστό-

λοῦ. Ἐκ τοῦ κατὰ Ἰωάννην· — Τῷ καιρῷ ἐκείνῳ. ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν. Ζήτει τῇ πρώτῃ Κυριακῇ τῶν νηστειῶν, σελ. 147.

Μετὰ τὴν ἐκφώνησιν τοῦ Ἱερέως. Ἐν πρώτοις μνήσθητι Κύριε. Ψάλλομεν τὸ παρὸν μεγαλυνάριον, τοῦ Ἱεράρχου.

Ἵλεος γενοῦ μοι σοὶ ἐκβοᾷ Θεσσαλονικέων, ὁ πιστότατός σου λαός, Γρηγόριε Πάτερ, ταῖς ἱεραῖς λιταῖς σου· μετὰ τοῦ Μυροβλύτου, ἡμᾶς περίσωζε.

Κοινωνικόν. Εἰς Πᾶσαν τὴν γῆν.

---

Οὗτος ὁ τοῦ θείου καὶ ἀνεσπέρου φωτὸς υἱός, ὁ ἀληθὴς τῷ ὄντι τοῦ Θεοῦ ἄνθρωπος, καὶ θαυμαστὸς τῶν θείων ὑπηρέτης καὶ λειτουργός, κατήγετο ἐξ Ἀσίας, γονέας δὲ ἔσχε περιφανεῖς καὶ ἐνδόξους· οὐ τὸν ἔξω μόνον καὶ κατ' αἴσθησιν ἄνθρωπον, ἀλλὰ πολλῷ μᾶλλον τὸν ἔνδον, καὶ μὴ ὁρώμενον, ἀρετῇ καὶ παιδείᾳ κοσμῆσαι ἐσπούδασεν. Ἐν ἁπαλῇ δὲ πάνυ τῇ ἡλικίᾳ, τελευτήσαντος αὐτῷ τοῦ πατρός, ἡ μήτηρ αὐτόν τε καὶ τοὺς ἀδελφούς, καὶ τὰς ἀδελφάς, παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου καὶ ἱεροῖς γράμμασιν ἔτρεφέ τε, καὶ ἐξεπαίδευε, καὶ τὴν ἔξω σοφίαν ἐν διδασκάλοις φοιτῶντα, καλῶς ἐξασκῆσαι διέγνω. Ὃς ὀξύτητι φύσεως, σπουδὴν συμμίξας κατάλληλον, ἐν ὀλίγῳ τε παντοίαν λογικὴν ἐπιστήμην συνεί-



ληφεν, εἰκοσαέτης που γεγονώς, πάντα χαμαίζηλα, καὶ ὀνείρων ἀπατηλότερα ἡγησάμενος, πρὸς τὸν πάσης σοφίας αἴτιον καὶ χορηγὸν ἀναδραμεῖν ἐζήτει Θεόν, καὶ διὰ βίου τελειωτέρου, αὐτῷ ἑαυτόν, ὅλον ἀναθῆναι. Ἔνθέν τοι καὶ ἀποκαλύπτει τὸν θεοφιλῆ σκοπὸν τῇ μητρί, καὶ τὸν ἐκ πολλοῦ πρὸς Θεὸν αὐτοῦ πόθον, καὶ διάπυρον ἔρωτα· κἀκείνην ὁμοίως εὑρίσκει, ταὐτά τε ὠδίνουσαν ἐκ μακροῦ, καὶ τοῖς ἴσοις αὐτῷ χαίρουσαν. Αὐτίκα τοίνυν ἡ μήτηρ τοὺς παῖδας περὶ αὐτὴν συναθροίσασα, καί, Ἰδοὺ ἐγώ, καὶ τὰ παιδία, μετ' εὐφροσύνης εἰποῦσα ἅ μοι ἔδωκεν ὁ Θεός, τήν τε γνώμην αὐτῶν ἀποπειρᾶται, ἣν ἔχουσι περὶ τὰ καλά, καὶ τὸν τοῦ μεγάλου σκοπὸν αὐτοῖς ἀνακαλύπτει. Κἀκεῖνος παραινετικοῖς λόγοις πρὸς αὐτοὺς χρησάμενος, θᾶττον ἢ λόγος, πειθομένους ἅπαντας εἶχε, καὶ πρὸς τὸν ὅμοιον αὐτῷ πόθον, καὶ τὴν τοῦ βίου φυγήν, ἑπομένους προθύμως. Ὅθεν καὶ τὰ ὄντα τοῖς πένησιν εὐαγγελικῶς διανείμας, εὐμένειάν τε βασιλικήν, καὶ τιμάς, καὶ κρότους τοὺς ἐν τοῖς Βασιλείοις εὐψύχως καταλιπών, τῷ Χριστῷ ἠκολούθησε· τὴν μητέρα μὲν καὶ τὰς ἀδελφὰς εἰς Παρθενῶνα ἐγκαταστήσας, τοὺς ἀδελφοὺς δὲ συμπαραλαβών, τὸ τῆς ἁγιωσύνης ἐπώνυμον ὄρος τὸν Ἄθω, κατέλαβεν. Ἀλλὰ τοὺς μὲν ἀδελφοὺς τέως ἑτέραις πείθει προσμένειν Μοναῖς, εἴτε τοῦ καιροῦ μὴ διδόντος, ἡνωμένους ἀλλήλους, τὸν κατὰ Θεὸν βίον ἀνύειν. Ἑαυτὸν δὲ εἰς ὑποταγὴν θαυμασίου τινὸς ἀνδρός, καθ' ἡσυχίαν μόνῳ Θεῷ ζῶντος, παραδίδωσι, τοὔνωμα Νικοδήμου· παρ' οὗ, πᾶσαν ἐντολήν, πᾶσαν ἀρετὴν ἐν ταπεινώσει ψυχῆς δι' ἔρ-

γων μεμαθηκώς, καὶ τὴν τῆς πανάγνου Θεοτόκου ἀντίληψιν, καὶ πρὸς πάντα ἄμαχον ἀῤῥωγὴν, ἐν ἀποκαλύψει μυστικῇ ἐνταῦθα δεξάμενος, μετὰ τὴν ἐκείνου πρὸς Θεὸν ἐκδημίαν, καὶ ἐν τῇ μεγίστῃ Λαύρᾳ χρόνους τινὰς διατρίψας, μετὰ σπουδῆς μεγίστης, καὶ πεπολιωμένου φρονήματος, τῷ φίλτρῳ τῆς ἡσυχίας, τῆς Λαύρας ἀναχωρεῖ, καὶ τὴν ἐρημίαν ἀσπάζεται. Πόθον δὲ πόθῳ ἀεὶ προστιθεὶς, καὶ Θεῷ συνεῖναι διαπαντὸς γλιχόμενος, ἄκρα σκληραγωγίᾳ ἑαυτὸν ἐκδίδωσι· καὶ προσευχῇ μὲν ἀκριβεῖ πάντοθεν τὰς αἰσθήσεις συστείλας, πρὸς Θεὸν δὲ τὸν νοῦν ἀνυψώσας, καὶ καιρὸν ἅπαντα προσευχῆς ἀσχολίαν, καὶ τῶν θείων μελέτην πεποιημένος, καὶ τὸν βίον ῥυθμίσας ἄριστα, τοὺς τῶν δαιμόνων πολέμους τῇ τοῦ Θεοῦ συμμαχίᾳ κατὰ κράτος νικᾷ, καὶ παννύχοις στάσεσι πηγαῖς δακρύων τὴν ψυχὴν καθάρας, σκεῦος ἐκλεκτὸν τῶν χαρισμάτων τοῦ θείου Πνεύματος ἐχρημάτισε, καὶ θεοφανείας συχνὰς ἐθεάσατο, καὶ τὸ θαυμασιώτερον, ὅτι καὶ μεταβὰς διὰ τὰς τῶν Ἰσμαηλιτῶν ἐφόδους, εἰς Θεσσαλονίκην, καὶ τὴν ἐν Βεῤῥοίᾳ Σκήτην ποιούμενος, καί τισι τῶν πόλεων ἀναγκαζόμενος ὁμιλεῖν, οὐδ᾽ οὕτω τῆς κατὰ πολιτείαν μετέβαινεν ἀκριβείας.

Ἐπὶ χρόνοις οὖν οὐκ ὀλίγοις, τελείως καὶ σῶμα καὶ ψυχὴν καθαγνίσας, καὶ ψήφῳ Θεοῦ τὸ μέγα χρίσμα τῆς ἱερωσύνης ἐδέξατο· καὶ καθάπερ τις ἄϋλος, καὶ ὡς εἰπεῖν, ἔξω ἑαυτοῦ γενόμενος, τὰ μυστικὰ ταύτης ἐπιτελῶν, ὡς καὶ μόνον ὁρώμενος, τὰς τῶν ὁρώντων κατανύσσειν ψυχάς· μέγας ἦν ἀληθῶς, καὶ τοῖς κατὰ Θεὸν ζῶσι πνευματοφόρος ἐγινώσκετο. Ἐφανεροῦτο δὲ τοιοῦτος ὤν,



καὶ τοῖς τὰ ἔξωθεν ὁρῶσι, κράτος ἔχων κατὰ δαιμόνων, καὶ τῆς αὐτῶν ἀπάτης καὶ μηχανῆς τοὺς προσληφθέντας λυτρούμενος, ἀκαρπίαν δένδρων εἰς εὐκαρπίαν μεταβάλλων, τὰ μέλλοντα προβλέπων, καὶ τοῖς ἄλλοις τοῦ θείου πνεύματος χαρίσμασί τε καὶ καρποῖς κεκοσμημένος ἦν. Ἐπεὶ δὲ τὸ μὲν τὴν ἀρετὴν ἐνεργεῖν, ἐν τῇ ἐξουσίᾳ κεῖται τῇ ἡμετέρᾳ, τὸ δὲ πειρασμοῖς περιπεσεῖν, οὐκ ἔστιν ἐφ᾽ ἡμῖν, χωρὶς δὲ τούτων οὐκ ἔστι τελείωσις, ἢ φανέρωσις τῆς πρὸς τὸν Θεὸν πίστεως· (Συνελθόντα γάρ φησι, πρᾶξις καὶ πόθος ἐπ᾽ ἀγαθῷ, τελοῦσι τὸν κατὰ Θεὸν ἄνθρωπον)· ποικίλοις καὶ συνεχέσι περιπεσεῖν ὁ μέγας οὗτος συγχωρεῖται πειρασμοῖς, ἵνα διὰ πάντων, καὶ τέλειος ὄντως φανῇ. Τὰ δ᾽ ἐντεῦθεν, τίς νοῦς ἐννοήσει; τίς ἐξειπεῖν δυνήσεται λόγος τάς τε τῶν προτέρων μείζους μηχανὰς τοῦ δεινοῦ πολεμήτορος, καὶ τὰς τῶν νεοφανῶν θεομάχων κατ᾽ αὐτοῦ διαβολὰς καὶ συκοφαντίας, καὶ ὅσας ὑπὲρ εὐσεβείας ἀγωνιζόμενος, ἐφ᾽ ὅλοις τρισὶ πρὸς τοῖς εἴκοσιν ἔτεσι, παρ᾽ αὐτῶν ὑπέστη κακώσεις καὶ θλίψεις παντοδαπάς; Τὸ γὰρ Ἰταλικὸν θηρίον, ὁ Καλαβρὸς Βαρλαὰμ, τῇ ἔξω σοφίᾳ μέγα φρονῶν, καὶ τῇ ματαιότητι τῶν οἰκείων διαλογισμῶν πάντα οἰόμενος εἰδέναι, δεινὸν ἐγείρει πόλεμον κατὰ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ τῆς εὐσεβοῦς ἡμῶν Πίστεως, καὶ τῶν ἀσφαλῶς ταύτης ἀντεχομένων· τὴν γὰρ κοινὴν χάριν τοῦ Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ τὸ φῶς τοῦ μέλλοντος αἰῶνος, καθὼς καὶ οἱ Δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, ὡς καὶ ὁ Χριστὸς προϋπέδειξεν ἐπ᾽ Ὄρους λάμψας, καὶ ἁπλῶς πᾶσαν δύναμιν καὶ ἐνέργειαν τῆς

τρισυποστάτου Θεότητος, καὶ τὸ πᾶν διαφέρον ὁπωσοῦν τῆς θείας φύσεως, κτιστὸν εἶναι φρενοβλαβῶς ἐδογμάτισε, καὶ τοὺς εὐσεβῶς ἄκτιστον φρονοῦντας τὸ θειότατον ἐκεῖνο φῶς, καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν, ὡς μηδενὸς ὄντος προσφάτου τῶν τῷ Θεῷ προσόντων φυσικῶν, λόγοις τε καὶ συγγράμασι μακροῖς, Διθείτας ὠνόμαζε καὶ πολυθέους, καθάπερ Ἰουδαῖοι, Σαβέλλιός τε καὶ Ἄρειος, ὀνομάζουσιν ἡμᾶς. Διὰ ταῦτα τοίνυν ὁ θεῖος Γρηγόριος, ἅτε τῆς εὐσεβείας ὑπέρμαχος καὶ προστάτης περιφανὴς, καὶ πρὸ πάντων ὑπὲρ ταύτης, καὶ πρὸ πολεμῶν καὶ συκοφαντούμενος, μετάπεμπτος ὑπὸ τῆς Ἐκκλησίας, τῇ Κωνσταντίνου ἐπιδημεῖ. Τοῦ θειοτάτου τοίνυν Βασιλέως τοῦ Ἀνδρονίκου, τοῦ τῶν Παλαιολόγων τετάρτου, τῆς εὐσεβείας προασπίζοντος, Σύνοδος ἱερὰ συγκροτεῖται· καὶ τοῦ Βαρλαὰμ παραγεγονότος, καὶ τῶν αὐτοῦ προβεβλημένων κακοδόξων δογμάτων, καὶ κατὰ τῶν εὐσεβῶν κατηγορημάτων, Πνεύματος θείου πλησθεὶς ὁ μέγας Γρηγόριος, καὶ δύναμιν ἄμαχον περιβαλλόμενος ἄνωθεν, τὸ κατὰ τοῦ Θεοῦ ἀνοιχθὲν ἐκεῖνο στόμα ἐφίμωσε καὶ εἰς τέλος κατῄσχυνε, καὶ πυριπνόοις λόγοις τε, καὶ συγγράμασι, τὰς αὐτοῦ φρυγανώδεις αἱρέσεις ἐτέφρωσε. Διὸ καὶ τὴν αἰσχύνην οὐκ ἐνεγκὼν ὁ τῆς εὐσεβείας πολέμιος, εἰς Λατίνους, ὅθεν ἧκε, φυγὰς ᾤχετο. Μετ' ἐκεῖνον, δ' εὐθὺς, τὸν Πολυκίνδυνον συνοδικῶς ἐξελέγχει, καὶ τὰ τούτου συγγράματα, λόγοις ἀντιῤῥητικοῖς διασπᾷ. Οἱ δὲ τῆς ἐκείνων μετασχόντες λύμης, οὐδ' οὕτως ἐπαύσαντο πολεμεῖν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Ἔνθέν τοι, καὶ βίᾳ πολλῇ τῆς ἱερᾶς Συνόδου, καὶ τοῦ Βασιλέως αὐτοῦ, καὶ πρὸ πάντων, τῇ θείᾳ ψήφῳ πεισθεὶς ὁ Γρηγόριος, ἐπὶ τὸν ἀρχιερατικὸν ἀνάγεται θρόνον, καὶ τῆς κατὰ Θεσσαλονίκην ἱερᾶς Ἐκκλησίας ποιμὴν καθίσταται. Διὸ καὶ πολλῷ πλείους τῶν προτέρων ἀγῶνας, ὑπὲρ τῆς ὀρθοδόξου πίστεως, γενναίως ἀνύει καὶ καρτερῶς· τοὺς γὰρ πονηροὺς διαδόχους Ἀκινδύνου καὶ Βαρλαὰμ, πολλοὺς ἀναφανέντας καὶ χαλεποὺς, καὶ δεινῶν θηρίων δεινὰ κυήματα, καὶ τὰ τούτων δόγματά τε καὶ συγγράμματα, οὐχ ἅπαξ, ἢ δὶς, ἢ τρὶς, ἀλλὰ πολλάκις καὶ διὰ πολλῶν, οὐδ' ἐφ' ἑνὸς Βασιλέως ἢ Πατριάρχου, ἀλλ' ἐπὶ τριῶν κατὰ διαδοχὴν τῶν σκήπτρων ἐπειλημμένων, καὶ Πατριαρχῶν ἰσαρίθμων, καὶ συνόδων οὐκ εὐαριθμήτων, λόγοις τε καὶ συγγράμμασι θεοπνεύστοις πολυειδῶς ἀνατρέπει, καὶ κατὰ κράτος εἰς τέλος ἐκνικᾷ. Καί τινες ἀμεταβλήτως ἔχοντες, παρ' οὐδὲν τιθέμενοι τὴν ἄνω δίκην, οὕτω διέμειναν· καὶ πασῶν γὰρ τῶν αἱρέσεων εἰσὶν ἔτι λείψανα, κατὰ τῶν αὐτὰς τροποσαμένων Ἁγίων ἀναισχυντοῦντα· ἵνα μὴ λέγω τὸ τῶν Ἰουδαίων πάντολμον γένος, μέχρι καὶ νῦν ἔχον τὴν λύτταν κατὰ Χριστοῦ.



Τοιαῦτα μὲν οὖν ὡς ἐν βραχεῖ, καὶ τοσαῦτα τὰ τοῦ μεγάλου κατὰ τῶν ἀσεβῶν τρόπαια. Ὁ δὲ Θεὸς τρόποις ἀῤῥήτοις, καὶ πρὸς Ἀνατολὰς τοῦτον ἐκπέμπει διδάσκαλον. Στέλλεται μὲν οὖν ὡς πρέσβυς ἀπὸ Θεσσαλονίκης ἐπὶ τὴν Κωνσταντίνου, καταλλάξων διαφερομένους τοὺς βασιλεῖς· συλλαμβάνεται δὲ παρ' αὐτῶν, καὶ κρατεῖται ὅλον ἐνιαυτὸν, τόπους ἐκ τόπων, καὶ πόλεις ἐκ πόλεων ἀθλητικῶς διερχόμενος, καὶ διδάσκων ἀπτο-

ήτως τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον. Καὶ τοὺς μὲν ἑδραίους ἐπιβεβαιῶν ἔτι, καὶ παρακαλῶν τῇ Πίστει ἐμμένειν, τοὺς δὲ κατ' αὐτὴν κλονουμένους, καί τινας ἀπορίας καὶ ζητήσεις ἐπὶ τοῖς τηνικαῦτα γενομένοις προβαλλομένους, θεοσόφως ἐπιστηρίζων, καὶ τὴν θεραπείαν, ἐν οἷς ἔλεγον, ἱκανωτάτην ἐπεδίδετο· τοῖς δὲ λοιποῖς τῶν ἀπίστων, καὶ τοῖς ἀθλίως ἀποῤῥαγεῖσι Χριστιανῶν, καὶ προσκεχωρηκόσιν ἐκείνοις, καὶ διασύρουσι τὰ ἡμέτερα περὶ τῆς τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν ἐνσάρκου Οἰκονομίας, καὶ τῆς τοῦ Σταυροῦ τοῦ τιμίου, καὶ τῶν σεπτῶν Εἰκόνων παρ' ἡμῶν προσκυνήσεως, πολλάκις παῤῥησίᾳ διελέγετο· οὗ γεγονότος, παρὰ τῶν φιλοχρίστων ἐλευθεροῦτο ὁ μέγας, καὶ τῷ οἰκείῳ ποιμνίῳ μάρτυς ἀναίμακτος, λαμπρῶς αὖθις ἐπιδημεῖ· πρὸς τοῖς ἄλλοις πολλοῖς καὶ μεγάλοις, οἷς εἶχε, χαρίσμασί τε καὶ προτερήμασι, τοῖς τοῦ Χριστοῦ καὶ αὐτὸς κατεκοσμήθη στίγμασι, καὶ τὰ τοῦ Χριστοῦ, κατὰ Παῦλον, ἔχων ἐν ἑαυτῷ ὑστερήματα. Ἵνα δὲ καὶ τῶν χαρακτηριζόντων ἐκεῖνον τινὰ ὑποδείξωμεν, ταῦτα ἦν ἐκείνου ἰδιαίτατα· τὸ μεθ' ὑπερβολῆς πρᾶον καὶ ταπεινὸν, ἔνθα μὴ περὶ Θεοῦ καὶ θείων ὁ λόγος· ἐν γὰρ τοῖς τοιούτοις, καὶ πάνυ ἦν μαχητής· τὸ ἀμνησίκακον λίαν καὶ ἀνεξίκακον· τὸ σπουδάζειν κατὰ τὸ δυνατὸν, τοῖς χρηστοτέροις ἀμείβεσθαι τοὺς πρὸς αὐτὸν ἔντισι φανέντας κακούς· τὸ μηδαμῶς εὐκόλως κατά τινων παραδέχεσθαι λόγους· τὸ πρὸς τὰς ἐπερχομένας ἑκάστοτε δυσχερείας, καρτερικὸν καὶ μεγαλόψυχον· τὸ πάσης ἡδονῆς καὶ κενοδοξίας ἀνώτερον· τὸ εὐτελῆ ἀεὶ εἶναι, καὶ ἀπέριττον ἐν



ταῖς χρείαις πάσαις τοῦ σώματος· καί τοι τοσοῦτον ὄντος τοῦ καιροῦ ἐξησθενηκότος· τὸ τῆς καρτερίας ἠρεμόν τε καὶ γαληνὸν, καὶ ἀεὶ χαρίεν οὕτω κατ' ἄκρας αὐτῷ ποιηθὲν, ὡς καὶ ἀπὸ τὸν ἔξω, δῆλον γίνεσθαι τοῖς ὁρῶσιν· ἐπὶ πᾶσι, τὸ σύννουν ἀεὶ καὶ προσεκτικόν τε καὶ ἀδιάχυτον· οἷς ἀκόλουθον, τὸ μηδέ ποτε σχεδὸν τοὺς ὀφθαλμοὺς ἐκείνου δακρύων εἶναι κενοὺς, ἀλλ' ὠδίνειν ταῦτα κατὰ τὰς τῶν δακρύων πηγάς. Οὕτως οὖν ἀπ' ἀρχῆς μέχρι τέλους κατὰ παθῶν, καὶ δαιμόνων ἀθλητικῶς ἀγωνισάμενος, καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας μακρὰν τοὺς αἱρετικοὺς ἐλάσας, καὶ τὴν Ὀρθόδοξον Πίστιν λόγοις τε καὶ συγγράμμασι διατρανώσας, καὶ δι' αὐτῶν ὥσπερ πᾶσαν Γραφὴν θεόπνευστον ἐπισφραγίσας, ὡς τὸν ἐκείνου βίον καὶ λόγον, καθάπερ ἐπίλογόν τινα εἶναι, καὶ σφραγῖδα τοῦ τῶν Ἁγίων βίου καὶ λόγου· ἔτι τε τὴν ἑαυτοῦ ποίμνην ἐπὶ τρεῖς καὶ δέκα χρόνοις ἀποστολικῶς καὶ θεαρέστως ποιμάνας, καὶ ἠθικοῖς λόγοις διακοσμήσας, καὶ πρὸς μάνδραν οὐράνιον ἰθύνας, καὶ ὡς εἰπεῖν, κοινὸς ἐργάτης ἀναφανεὶς, τῶν τε ζώντων, καὶ τῶν ἔπειτ' ἐσομένων Ὀρθοδόξων ἁπάντων, πρὸς τὴν ὑπερκόσμιον ζωὴν μετατίθεται, κατὰ τὸ χιλιοστὸν τριακοσιοστὸν ἑξηκοστὸν δεύτερον ἔτος ἀπὸ Χριστοῦ, ζήσας τὰ πάντα ἔτη τρία πρὸς τοῖς ἑξήκοντα· καὶ τὸ μὲν πνεῦμα, εἰς χεῖρας Θεοῦ παρατίθησι, τὸ σῶμα δὲ, τὸ ἱερὸν αὐτοῦ λείψανον, τῇ ποίμνῃ καταλιμπάνει, ὅπερ καὶ σώζεται ἐν τῇ τῆς Θεσσαλονίκης Μητροπόλει, ἐξαισίως ἐν τῷ τέλει λαμπρυνθέν τε καὶ δοξασθὲν, ὥς τινα κλῆρον καὶ θησαυρὸν ὑπέρτιμον· θαύμασι γὰρ ἑκάστοτε τοὺς

ἀπέθανεν ἔτει 1362
ἐγεννήθη τῷ 1299
ἔζησεν χρόνους = 63 =

πιστῶς προσιόντας εὐεργετεῖ, καὶ νόσων παντοίων ἀπαλλαγὴν χαρίζεται, ἀφ' ὧν οὐκ ὀλίγα ἡ κατ' αὐτὸν ἱστορία διέξεισι.

ΤΕΛΟΣ

ΤΩ ΔΕ ΘΕΩ ΧΑΡΙΣ ΚΑΙ ΔΟΞΑ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ